συγγραφὴν δέ, ἣν εἶχον κατά τινος,
36 ἐπ᾽ ὤμοις ἂν περιθέμενος στέφανον ἀνεγίνωσκον,
37 καὶ εἰ μὴ ῥήξας αὐτὴν ἀπέδωκα
οὐθὲν λαβὼν παρὰ χρεοφειλέτου,
38 εἰ ἐπ᾽ ἐμοί ποτε ἡ γῆ ἐστέναξεν,
εἰ δὲ καὶ οἱ αὔλακες αὐτῆς ἔκλαυσαν ὁμοθυμαδόν,
39 εἰ δὲ καὶ τὴν ἰσχὺν αὐτῆς ἔφαγον μόνος ἄνευ τιμῆς,
εἰ δὲ καὶ ψυχὴν κυρίου τῆς γῆς ἐκβαλὼν ἐλύπησα,
40 ἀντὶ πυροῦ ἄρα ἐξέλθοι μοι κνίδη,
ἀντὶ δὲ κριθῆς βάτος.
Καὶ ἐπαύσατο Ιωβ ῥήμασιν.
32 1 Ἡσύχασαν δὲ καὶ οἱ τρεῖς φίλοι αὐτοῦ ἔτι ἀντειπεῖν Ιωβ·
ἦν γὰρ Ιωβ δίκαιος ἐναντίον αὐτῶν.
2 ὠργίσθη δὲ Ελιους ὁ τοῦ Βαραχιηλ ὁ Βουζίτης
ἐκ τῆς συγγενείας Ραμ τῆς Αυσίτιδος χώρας,
ὠργίσθη δὲ τῷ Ιωβ σφόδρα,
διότι ἀπέφηνεν ἑαυτὸν δίκαιον ἐναντίον κυρίου·
3 καὶ κατὰ τῶν τριῶν δὲ φίλων ὠργίσθη σφόδρα,
διότι οὐκ ἠδυνήθησαν ἀποκριθῆναι ἀντίθετα Ιωβ
καὶ ἔθεντο αὐτὸν εἶναι ἀσεβῆ.
4 Ελιους δὲ ὑπέμεινεν δοῦναι ἀπόκρισιν Ιωβ,
※ὅτι πρεσβύτεροι αὐτοῦ εἰσιν ἡμέραις.
5 ※καὶ εἶδεν Ελιους ὅτι οὐκ ἔστιν ἀπόκρισις
※ἐν στόματι τῶν τριῶν ἀνδρῶν,
※καὶ ἐθυμώθη ὀργὴ αὐτοῦ.↙
6 ὑπολαβὼν δὲ Ελιους ὁ τοῦ Βαραχιηλ ὁ Βουζίτης εἶπεν
Νεώτερος μέν εἰμι τῷ χρόνῳ, ὑμεῖς δέ ἐστε πρεσβύτεροι·
διὸ ἡσύχασα φοβηθεὶς
τοῦ ὑμῖν ἀναγγεῖλαι τὴν ἐμαυτοῦ ἐπιστήμην·
7 εἶπα δὲ ὅτι Ὁ χρόνος ἐστὶν ὁ λαλῶν,
ἐν πολλοῖς δὲ ἔτεσιν οἴδασιν σοφίαν.

36 (>V)] pr. ει A† | αν > A† | στεφ.] pr. ως A† || 37(>V)$^{2}$] + μου A† || 39$^{1}$ δε και > AV† | μονος / ανευ τιμης] tr. AV†, μονος > S | 39$^{2}$ εκλαβων B || 40$^{1}$ αρα > AV†

32 1$^{1}$ ετι (+ δε A†) αντειπεν ιωβ AV† | 1$^{2}$ ιωβ / δικ. εναντ. αυτων] tr. A†, ιωβ > V† || 2$^{1}$ ο βουζ(ε)ιτης] ο του βουζ(ε)ι AV†: item in 6$^{1}$ | 2$^{2}$ ραμ] ραμα AV†, αραμ C | 2$^{3}$ ωργ. δε] και ωργ. AV†: cf. 3 12 | 2$^{4}$ εναντιον] ον > SAV† || 3$^{1}$ τριων δε] tr. A†, δε > S*† | φιλων] + αυτου AS$^{c}$V† | ωργ. σφοδρα] tr. S† | 3$^{2}$ ιωβ] pr. τω SA | 3$^{3}$ ασεβη] ευσ. A*S$^{c}$V Sy$^{mg}$†: cf. Eccl. 3 16 || 4$^{1}$ ιωβ] pr. τω AV† | 4$^{2}$ αυτου εισιν] tr. A† | ημερων A† || 5$^{3}$ ὀργή La (cf. 42 7 θ′ εθυμωθη η οργη μου)] ὀργῇ Sy: sic 𝔊 ubique, sed 5 est translatio Theodotionis || 6$^{1}$ βουζιτης: cf. 2 | ειπεν] λεγει A | 6$^{2}$ μεν > S*† | 6$^{3}$ διο] διοτι A† | 6$^{4}$ εμαυτου] εμην AV† || 7$^{1}$ ο 1$^{0}$ pl.] > A†, pr. ουχ(uel ουκ) BS | 7$^{2}$ οιδασιν A mu.] pr. ουκ BS, ουκ οιδα compl.